## Ἀπορίαι.

ΕΙκότως ἀπορήσειεν ἄν τις πῶς εἴρηται τὸ ποιοῦν ὅμοιον τῷ κινοῦντι. οὐ γὰρ οὕτως ἔχειν δοκεῖ, ἢ ὅτι πῇ μὲν ὅμοιά εἰσι, πῇ δὲ ἀνόμοια. ὅμοια μὲν ὅτι ὡς τὸ πρῶτον κινοῦν ἀκίνητον, οὕτω τὸ πρῶτον ποιοῦν ἀπαθές. ἀνόμοια δὲ ὅτι τὸ μὲν πρῶτον κινοῦν ἀσώματον, τὸ δὲ πρῶτον ποιοῦν σῶμα.

## Σημειώσεις.

ΔΕῖ εἰδέναι ὅτι τὰ μεταξὺ ἐναντία ὁ Φιλόσοφος ὁτὲ μὲν ἐναντίωσιν ἔχειν φησὶν, ὁτὲ δὲ ἐκ τῶν ἐναντίων. τὰ δὲ ἄκρα ἁπλῶς ἐναντία. ἔτι δὲ ποιητικὰ καὶ παθητικὰ ὑπ' ἀλλήλων λέγει τὰ τὴν αὐτὴν ἔχοντα ὕλην, οὐ γὰρ ποιοῦσι καὶ πάσχουσιν ἐνεργείᾳ, εἰ μὴ πλησιάσαντα ἀλλήλοις, σώζει τὸ δύνασθαι ποιεῖν καὶ πάσχειν ἀεί. ὡσαύτως τὸ πρώτως κινοῦν μὴ κινεῖσθαι ἀναγκαῖον ἐπ' ἐνίων φάναι τὸν Φιλόσοφον, τὸν νοῦν αἰνιττόμενον ἄϋλον ὄντα καὶ ἀσώματον, καὶ ἀμερῆ καὶ ἀκίνητον.

## ΚΕΦΑΛΑΙΟΝ, ΟΓΔΟΟΝ.

### Οἱ τρόποι καθ' οὓς τὰ μὲν ποιεῖν· τὰ δὲ πάσχειν λέγεται, καὶ αὐτῶν ἔλεγχοι.

ΗΔη δὲ κοινότερον εἴρηται πῶς γίνεται τὸ ποιεῖν καὶ πάσχειν. ἰδιαίτερον οὖν πάλιν λέγομεν κατὰ τίνα τρόπον τοῦτο συμβαίνειν ἐνδέχεται, εἴπωμεν δὲ πρότερον τοὺς τρόπους καθ' οὓς οἱ παλαιότεροι τὸ ποιεῖν καὶ πάσχειν ἐτίθεσαν. τοῖς μὲν οὖν δοκεῖ οἷον Ἐμπεδοκλεῖ τὸ πάσχειν γίνεσθαι διά τινων πόρων εἰσιόντος εἰς τὸ παθητικὸν τοῦ ἐσχάτου καὶ κυριωτάτου ποιοῦντος, τὸ γὰρ ποιοῦν δρᾷν ᾠήθησαν εἰσιὸν εἰς τοὺς πόρους τοῦ σώματος, καὶ τοῦτον τὸν τρόπον τό, τε ὁρᾷν καὶ ἀκούειν, καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας ἔλεγον. οἷον ὁρᾷν μὲν διὰ τοῦ ἀέρος, καὶ ὕδατος, καὶ τῶν διαφανῶν, διότι ἐν τούτοις πόροι εἰσὶν ἀόρατοι μὲν διὰ σμικρότητα, πυκνοὶ δὲ καὶ κατὰ στοῖχον, δι' ὧν αἱ ὄψεις διιοῦσαι τοῖς ὁρατοῖς προσβάλλουσι, διὸ καὶ καθαρώτερον ὁρῶμεν διὰ τῶν μᾶλλον διαφανῶν



ΙΩΑΝΝΙΝΑ 2006

φανῶν ὅτι τοὺς πόρους ἔχουσι πυκνοτέρους, καὶ μᾶλλον κατὰ στίχον, οὐδαμῶς δὲ διὰ τῶν οὐδαμῶς ὄντων διαφανῶν, ὅτι καί τοι πόρους ἔχουσιν, ὅμως οὐ κατὰ στίχον, τοῦτον οὖν τὸν τρόπον κατ' Ἐμπεδοκλῆ τὸ ποιεῖν γίγνεται καὶ πάσχειν, τῶν σωμάτων γὰρ πόρους ἐχόντων τὸ ποιοῦν εἰς τοὺς πόρους εἰσιὸν εἰς πάθος ἄγει τὸ πάσχον. διεκρίναν δὲ τῶν ποιούντων καὶ πασχόντων τὸ μίγνυσθαι. ὅτι τὸ μὲν πάσχειν γίγνεται τοῦ ποιοῦντος εἰσιόντος εἰς τοὺς πόρους, μίγνυσθαι δὲ ὅταν οἱ πόροι τῶν ποιούντων καὶ πασχόντων σύμμετροι εἰσὶν ἀλλήλοις, ὥστε ὅλα μίγνυσθαι δι' ὅλων, καὶ οὕτω μὲν Ἐμπεδοκλῆς ἐφιλοσόφει. ὁδῷ δὲ μάλιστα διωρίκασι Λεύκιππος καὶ Δημόκριτος. ἐπεὶ γὰρ λόγῳ καὶ καθόλου περὶ πασῶν τῶν ἀποριῶν ἀποφαίνονται ἀρχὴν ποιησάμενοι κατὰ φύσιν, οὐ γὰρ τῆς κινήσεως ἔξαρνοι ἐγένοντο, ἀλλὰ ταύτην ὑποτιθέμενοι ἐκ τῶν κατὰ τὴν αἴσθησιν σαφεστάτων προϊόντες τὸ κενὸν εἰσήγαγον καὶ τὸ πλῆρες ἀτόμους ὄν. αἷς κατὰ τὸ σχῆμα διαφερούσαις καὶ ἡ τῶν ἀποτελεσμάτων ποικιλία παρείπετο, οὐχ ὡς ἐνίοις ἔδοξε τῶν ἀρχαίων τὴν ἐναντίαν ὁδὸν βαδίσασιν, ἐκ γὰρ τοῦ κατὰ τὴν αἴσθησιν ἀσαφοῦς ἐπιχειροῦντες τὰ σαφῆ κατὰ τὴν αἴσθησιν ἠρνήσαντο, ὅθεν μὴ εἶναι κενὸν ὑποτιθέμενοι τὸ ὂν ἓν εἶναι καὶ ἀκίνητον ἐξ ἀνάγκης ἔφασαν. καὶ τὸ μὲν κενὸν πάλιν οὐκ ἀπὸ τῶν αἰσθήσεων ἀνεῖλον, ἀλλ' ἀπὸ τοῦ μὴ ὂν εἶναι, μόνως γὰρ τὸ πλῆρες ὂν ἔλεγον, ὅτι δὲ μὴ ὄντος κενοῦ κεχωρισμένου μήτε κίνησιν εἶναι, μήτε πλῆθος ἐδείκνυον, τὴν γὰρ κίνησιν ἐξ ἀνάγκης ἐν τῷ κενῷ γίνεσθαι καθάπερ καὶ Δημόκριτός φησι νομίζουσιν. ὁμοίως δὲ καὶ τὴν διαίρεσιν ἐν τοῖς πράγμασι διὰ τοῦ κενοῦ γίγνεσθαι, ἐπειδὴ τοιγαροῦν οὐκ ἔστι κενὸν, οὔτε κίνησιν εἶναι, οὔτε πλῆθος ὡμολόγουν, ἀλλὰ τὸ πᾶν ἓν εἶναι καὶ ἀκίνητον. πειρῶνται δὲ οἱ τοιοῦτοι καὶ τὸν ἀντιφερόμενον ἐπιλύσαι λόγον, οὐδὲν γὰρ διαφέρειν φασὶ τὸ φάναι πολλὰ τὸ ὂν εἶναι, ὡς μὴ συνεχοῦς ὄντος τοῦ παντὸς, ἀλλ' ἁπτομένων διῃρημένως τῶν σωμάτων, καὶ τῇ τῶν ἐσχάτων ἀφῇ διακρινομένων τοῦ λέγειν πολλά τε εἶναι καὶ κενὸν, ὁμοίως γὰρ ἔλεγον τοὺς τοιούτους πολλὰ λέγειν τὸ ὂν, ὥσπερ τοὺς τὸ κενὸν ὁμολογοῦντας, καὶ γὰρ ἢ τὸ ὂν πάντῃ διαιρετόν ἐστιν, ἢ μὴ, καὶ εἰ μὲν πάντῃ διαιρετὸν οὐδὲν ἔσται ἓν, ἀλλὰ διαιρεθὲν πάντῃ τὸ ὂν λοιπὸν ἔσται μόνον κενὸν, ὥστε οὐδὲ πολλὰ, τὸ γὰρ πάντῃ κενὸν οὐδὲ ἓν, οὐδὲ πολλὰ, εἰ δὲ μὴ πάντῃ διαιρετὸν τίθεται, ἀλλὰ τῇ μὲν, τῇ δὲ μὴ, πεπλασμένῳ τινὶ τοῦτο ἐοικέναι, διατὶ γὰρ τῇ μὲν διῄρηται, τῇ δὲ μή; καὶ διατί μέχρι τοσοῦδε διῄρηται, ἀλλὰ μὴ περαιτέρω. ἐπειδὴ τοίνυν οὐκ ἔστιν ὅλως ἀποδοῦναι διατί τὸ μὲν πλῆρές ἐστι, τὸ δὲ διῃρημένον ἀνάγκη πάντῃ φάναι διαιρετὸν, ὥστε κενὸν ἔσται τὸ ὅλον. Ἔτι δὲ ὁμοίως φάναι ἀνάγκη τοῖς μὴ διείργεσθαι τῷ κενῷ τὰ πολλὰ, ἀλλ' ἅπτεσθαι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Σ. ... ΙΩΑΝΝΙΝΑ 2006

διῃρημένας μὴ εἶναι κίνησιν, κίνησις γὰρ οὐκ ἔστιν ἄνευ κενοῦ, ἐν γὰρ τῷ πλήρει κινήσεως γιγνομένης διήκειν ἀνάγκη τὰ σώματα. τοῦτο δὲ ἀδύνατον, ὥστε μὴ ὄντος κενοῦ, ἀλλὰ τῶν σωμάτων ἀπτομένων ἀναγκαῖόν ἐστι φάναι μὴ εἶναι κίνησιν. Ὅμως οἱ ταῦτα λέγοντες μέμψεως εἰσὶ πολλῆς ἄξιοι, καὶ γὰρ μὴ τῇ ἐναργείᾳ τῶν πραγμάτων προσέχοντες ὑπερέβησαν τὴν αἴσθησιν, καὶ παρεῖδον αὐτήν, καὶ ὡς μόνῃ τῇ τοῦ λόγου ἀκολουθίᾳ προσεσχηκότες εἶναί φασι τὸ πᾶν ἓν καὶ ἀκίνητον, καὶ ἄπειρον. Ταῦτα γὰρ συνιστᾶν φαίνεται ἡ ἐκ τῶν λόγων ἐπιχείρησις, ἕπεσθαι γὰρ δοκεῖ τῇ τοῦ μὴ κενὸν εἶναι ὑποθέσει, μήτε πλῆθος ἢ διαίρεσιν εἶναι, μήτε κίνησιν, μήτε πέρας, τὸ γὰρ πέρας περαίνειν λέγεται πρὸς τὸ κενόν. μεμήνασιν οὖν οἱ τοιοῦτοι τῶν μὲν πραγμάτων περιπεφρονηκότες, καὶ αὐτῆς τῆς αἰσθήσεως, λόγῳ δὲ μόνῳ πιθανῷ ἀκολουθήσαντες, εἰ γὰρ περὶ λόγου ὁ λόγος, ἐδόκει ἂν ταῦτα συμβαίνειν, ἐπ᾿ αὐτῶν δὲ τῶν πραγμάτων μανίᾳ παραπλήσιον ἐστι τὸ πείθεσθαι ταῖς τοιαύταις δόξαις, καὶ γὰρ οὐδὲ τῶν μαινομένων ἐστὶ λίαν καὶ παντελῶς ἐξεστηκότων τὸ πῦρ ψυχρὸν εἶναι νομίζειν, καὶ θερμὸν τὸν κρύσταλλον. ὥστε καὶ πῦρ καὶ κρύσταλλον ἓν εἶναι φάναι. ἀλλὰ μόνον ἔνιοι διὰ μανίαν ἐν τοῖς φαινομένοις καλοῖς ἀπατώμενοι διὰ τὴν συνήθειαν οὐ διακρίνουσι τὰ καλὰ τῶν κακῶν, αὐτοὶ δὲ οὐχ ὑπὸ φαύλης συνηθείας, οὐδ᾿ ὑφ᾿ ἡδονῆς περὶ τῶν φαινομένων καλῶν ἐξαπατῶνται, ἀλλὰ τῆς τῶν πραγμάτων ἐναργείας ἀποβουκολοῦνται. λόγῳ πειθόμενοι ὅπου δέον αἰσθήσεως. Ἐκ τῶν εἰρημένων οὖν φανερόν, ὅτι συμφωνεῖ μὲν τοῖς λεγομένοις ὑπὸ τῶν ἓν καὶ ἀκίνητον τιθεμένων τὸ πᾶν Λεύκιππος κατὰ μέρος, καὶ διαφέρει τούτων. πρῶτον γὰρ ἐκεῖνος ἔχειν ᾠήθη λόγους μὴ ταῖς αἰσθήσεσιν ἀντιμαχομένους, οὐδ᾿ ἀναιροῦντες τὰ κατὰ τὴν αἴσθησιν. ἀλλὰ μᾶλλον αὐτὰ συνιστῶντες, οἷον γένεσιν καὶ φθοράν, καὶ κίνησιν, καὶ πλῆθος τῶν ὄντων, καὶ ταῦτα μὲν συμφώνως τοῖς φαινομένοις καὶ αἰσθητοῖς ὡμολόγει, διαφερόμενος τοῖς λέγουσιν ἀκίνητον τὸ πᾶν καὶ ἕν. συνάδει δὲ ὅμως τούτοις ὡς μὴ κίνησιν γίνεσθαι οἷόν τε οὖσαν ἄνευ κενοῦ, καὶ τὸ κενὸν μὴ ὂν εἶναι, οὐδὲ τοῦ ὄντος μέρους, τοῦ γὰρ ὄντος οὐδὲν μὴ ὄν φησιν εἶναι, καὶ γὰρ τὸ κυρίως ὂν παμπληθὲς ὄν ἐστιν. ἔλεγε μὲν οὖν Λεύκιππος ὅτι ἐπειδὴ κίνησίς τε ἐστι, καὶ διαίρεσις ἐν τοῖς οὖσιν ὡς ἡ αἴσθησις μαρτυρεῖ, αὐτὸ δὲ τὸ κυρίως ὂν στερεὸν ὂν οὔτε κινεῖσθαι καθ᾿ ἑαυτὸ ἐνδέχεται, οὔτε γίνεσθαι πολλά, ἀνάγκη κενὸν εἶναι διὰ παντὸς τοῦ πλήρους, ὥστε ἐν αὐτῷ γίνεσθαι τὴν κίνησιν, καὶ τούτῳ διείργοντι διαιρεῖσθαι τὸ πᾶν εἰς ἐλάχιστα μεγέθη, ἄπειρα μὲν τὸ πλῆθος, ἀδιαίρετα δὲ καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. ἐκ τούτων δὲ καὶ τὰς λοιπὰς μεταβολὰς ἀναπτύσσει, καὶ τὸν λόγον ἐξ αὐτῆς τῆς αἰσθήσεως ὁδεύει, συνισταμένων γὰρ

τῶν

ΙΩΑΝΝΙΝΑ 2006

τῶν ἀτόμων γένεσιν ποιεῖ, διαλυομένων δὲ φθορὰν, τὴν δὲ τούτων ἀφὴν τὸ ποιεῖν εἴρηκε καὶ πάσχειν, ἁπτόμενα δὲ τὰ σώματα οὐχ ἓν γίγνεσθαι, οὐ γὰρ οὕτω ποτὲ τὰ τῶν ἁπτομένων ἔσχατα ἅμα ἐστὶν, ὥστε συνεχῆ γενέσθαι, καὶ ἐφαρμοσθῆναι ταῖς ἐπιφανείαις, ἀλλ' ἀεὶ τοῦ κενοῦ διειργόμενα ἅπτεσθαι λέγεται πλησίον ἀλλήλων γιγνόμενα, ὁμοίως δὲ τὴν γένεσιν ἐτίθετο τῶν παθῶν, συντιθεμένων καὶ περιπλεκομένων ἀλλήλοις τῶν ἀτόμων, ἐκ γὰρ τῆς διαφόρου συνθέσεως καὶ περιπλοκῆς, ἢ τῆς θέσεως καὶ τάξεως ἀνακύπτει διαφορὰ, ταύτῃ δὲ τὰ τοῦ ὅλου πάθη παρέπεται. ἐκ τούτων οὖν δῆλον ἐστὶν ὅτι οὐκ ἔστι κατὰ ἀλήθειαν ἓν κατὰ Λεύκιππον ἀντιθέτως τοῖς κατασκευάζουσί τὸ ἕν, οὔτε γὰρ πλῆθος ἦν ἐν τοῖς οὖσιν, οὔτε κίνησις, τὸ γὰρ πλῆθος ἐκ διαιρέσεως γίνεται, ἐν δὲ τῷ κατὰ ἀλήθειαν καὶ κυρίως ἑνὶ, ὡς οὐκ ἐνόντος κενοῦ, οὐδὲ διαίρεσις γίγνεται, οὐ μὴν ἀλλ' οὐδὲ ἐκ τῶν ἀληθῶς πολλῶν ἕν. ἔτι δὲ διαφέρει Λεύκιππος Ἐμπεδοκλέους, ὁ μὲν γὰρ Ἐμπεδοκλῆς περὶ τὸ ποιεῖν καὶ πάσχειν μόνον διορισάμενός φησι διὰ πόρων γίγνεσθαι, ὁ δὲ Λεύκιππος πᾶσαν ἀλλοίωσιν καὶ πᾶν τὸ πάσχειν καθολικώτερον ἀποφαινόμενος τοῦτον γίγνεσθαι τὸν τρόπον διδάσκει, καὶ οὐ μόνον διὰ τοῦ κενοῦ γινομένης τῆς διαλύσεως ποιεῖ τὴν φθορὰν, ἀλλὰ καὶ τὴν αὔξησιν ὑπεισδυομένων ἑτέρων ἔξωθεν εἰς τὰ ἐνόντα τῷ σώματι κενὰ, σχεδὸν ὅμως συμπίπτει ἡ Ἐμπεδοκλέους δόξα εἰς τὴν τοῦ Δημοκρίτου καὶ Λευκίππου, ἀναγκάζεται γὰρ καὶ αὐτὸς ἄτομά τε εἰσάγειν σώματα, καὶ κενὸν, εἰ γὰρ οὐκ ἔστιν ἔσχατα στερεὰ σώματα ἀδιαίρετά τε, καὶ μὴ πόρους ἔχοντα, ἀνάγκη πάντῃ πόρους συνεχεῖς εἶναι, τοῦτο δὲ ἀδύνατον, ἦν γὰρ αὖ οὐδὲν στερεὸν ἐν τοῖς οὖσιν, ἀλλὰ τὸ πᾶν κενὸν, ὥστε καταντᾶν ἀνάγκη εἰς σώματα ἀπαθῆ καὶ ἀδιαίρετα, καὶ μὴ πόρους ἔχοντα, ἀλλὰ περιέχοντα, τούτους δὲ τοὺς μεταξὺ πόρους κενοὺς εἶναι, ὥστε ὁμοίως Λευκίππῳ καὶ Δημοκρίτῳ Ἐμπεδοκλῆς περὶ τοῦ ποιεῖν καὶ πάσχειν λέγειν ἀναγκασθήσεται, καίτοι τούτων ὀνόματι διαφέρων τὰ κενὰ πόρους ὀνομάσας, οἱ μὲν οὖν τρόποι καθ' οὓς τὰ μὲν ποιεῖ τὰ δὲ πάσχει κατὰ τοὺς παλαιοτέρους τοὺς ἀμφὶ Δημόκριτον καὶ Λεύκιππον δῆλοι σχεδὸν γεγόνασι, καὶ πῶς λέγουσι περὶ τούτων, καὶ ὅτι ταῖς θέσεσιν αἷς χρῶνται σχεδὸν ὁμολογουμένως φαίνονται συμβαίνειν, οὐ μὴν δὲ ὁμοίως ἔχει τὰ τοῦ Ἐμπεδοκλέους, οὐ γὰρ οἷός τε ἐστὶν ἀποδοῦναι συμφώνως τοῖς ἐξ ἀρχῆς τίνα τρόπον ἔσται φθορὰ καὶ ἀλλοίωσις, ὁ μὲν γὰρ Λεύκιππος καὶ Δημόκριτος ἀδιαίρετα τὰ πρῶτα τῶν σωμάτων τιθέμενοι σχήματι μόνον διαφέροντα ἐκ τούτων τὸν λόγον τῆς γενέσεως πάντων καὶ αὐτῶν τῶν στοιχείων ἀποχρώντως ἀποδιδόασι. τῇ γὰρ συγκρίσει τῶν πρώτων σωμάτων τὴν γένεσιν ἐποίουν, τῇ δὲ εἰς ἔσχατα διαλύσει τὴν φθορὰν, ὁμοίως δὲ τὴν ἀλλοίω-



ΙΩΑΝΝΙΝΑ 2006

σιν ἴσαζον τῇ μεταθέσει καὶ μεταπτάξει τῶν ἀτόμων, καὶ τὰ ἄλλα ὡσαύτως. Ἐμπεδοκλῆς δὲ τῶν μὲν ἄλλων τὴν γένεσιν ἀποδιδοὺς φαίνεται ἐκ τῆς τῶν στοιχείων συγκρίσεως καὶ διακρίσεως τὴν γένεσιν καὶ τὴν φθορὰν τὴν ἐκ τῶν στοιχείων συγκειμένων ἐκθέμενος, αὐτῶν δὲ τῶν στοιχείων πῶς γίγνεται καὶ φθείρεται τὸ σωρευόμενον μέγεθος οὐκ ἔχει λέγειν ἀκολούθως ταῖς ἀρχαῖς, οὐ γὰρ τίθησι στοιχεῖον καὶ ἀρχὰς τοῦ πυρὸς, καὶ τῶν ἄλλων ἁπάντων στοιχείων, ὥστε ἐκ τῆς εἰς αὐτὰς διαλύσεως γίγνεσθαι τὴν φθορὰν τῶν στοιχείων, ἢ τὴν γένεσιν ἐκ τῆς ἐκείνων συγκρίσεως, καθάπερ καὶ Πλάτων καὶ Δημόκριτος ποιεῖ, ὁ μὲν γὰρ ἐξ ἀτόμων μεγεθῶν γεννᾷ τὰ στοιχεῖα, ὁ δὲ ἐξ ἐπιπέδων ἀδιαιρέτων, καίτοι πολλοῖς ἄλλοις ἀλλήλων διαφέρουσιν. ὁ μὲν γὰρ Δημόκριτος τὰ ἀδιαίρετα στερεὰ ἀπείροις ὡρίσθαι σχήμασιν ἔλεγεν, ὁ δὲ ὡρισμένοις, ἀμφότεροι ὅμως τὰ ἀδιαίρετα ὡρισμένα σχήμασι τιθέασιν. Ἔτι δὲ διαφέρουσι περὶ τὰς γενέσεις, καὶ διακρίσεις. Λεύκιππος γὰρ δύο τρόπους τίθησι τούτων ὡς γινομένων διὰ τοῦ κενοῦ καὶ τῆς ἁφῆς, τῷ τε γὰρ κενῷ, καὶ τῇ ἁφῇ διαιρεῖ τὰ σώματα, Πλάτων δὲ τὸ κενὸν ἀναιρῶν τῇ τῶν ἐπιφανειῶν ἁφῇ τὴν γένεσιν ποιεῖ, ἀλλ' ἡμῖν εἴρηται περὶ τούτων ἄλις ἀλλαχοῦ, καὶ περὶ μὲν τῶν ἀδιαιρέτων ἐπιπέδων ἐν τῷ τρίτῳ περὶ οὐρανοῦ, περὶ δὲ τῶν ἀδιαιρέτων στερεῶν, τὸ μὲν ἐπὶ πλέον θεωρῆσαι τὰ συμβαίνοντα ἄτοπα ἀφήσθω ταννῦν, λέλεκται γὰρ ἐν τοῖς προτέροις λόγοις, ὡς δὲ μικρὸν παρεκβᾶσιν εἰπεῖν, ἐφ' ὅσον εἰς τὸν παρόντα σκοπὸν ἀνήκει, συμβαίνει πρῶτον τῇ τούτων θέσει, ὅτι ἀναγκαῖον ἀπαθὲς ἕκαστον λέγειν τῶν ἀδιαιρέτων, δεύτερον μηδενὸς ποιητικὸν εἶναι πάθους, ταῦτα δὲ ἄτοπα. ὅτι μὲν οὖν ἀπαθὲς φανερὸν, οὐ γὰρ οἷόν τε πάσχειν, ἀλλ' ἢ διὰ τοῦ κενοῦ, ἐν δὲ τοῖς ἀδιαιρέτοις οὐκ ἔστι κενὸν, εἰ γὰρ ἦν καὶ ταῦτα διαιρεθεῖεν, ἀλλὰ καὶ μηδενὸς ποιητικὸν ἦν πάθους, ὃ γὰρ μὴ ἔχει πάθος οὐδ' ἄλλῳ τῷ μεταδοίη τούτου, εἰδὲ μὴ δραστικὸν, οὔτε σκληρὸν, οὔτε ψυχρὸν οἷόντ' εἶναι, ταῦτα γὰρ τῶν ποιητικῶν ἐστι καὶ παθητικῶν εἰς ἄλληλα. εἰδὲ οὐκ ἔσται σκληρὸν καὶ ψυχρὸν, πῶς ἂν γένηται τὸ σκληρὸν ἐκ μὴ σκληρῶν, ἢ τὸ ψυχρὸν ἐκ μὴ ψυχρῶν; καίτοι τοῦτο τοῖς αὐτῶν μάχεται λόγοις, εἰ γὰρ ἀποδιδόασι τῷ περιφερεῖ σχήματι τὸ θερμὸν, ἀνάγκη καὶ τοὐναντίον ὃ ἐστι τὸ ψυχρὸν ἄλλῳ τινὶ προσήκειν τῶν σχημάτων. εἰδὲ ταῦτα ὑπάρχει, λέγω δὲ θερμότης καὶ ψυχρότης, ἄτοπον μὴ βαρύτητα καὶ κουφότητα, καὶ σκληρότητα καὶ μαλακότητα ὑπάρχειν, μάλιστα δὲ ἐπειδὴ οὗτοι βαρύτερόν φασιν εἶναι κατὰ τὴν τῶν ἀτόμων ὑπεροχὴν, ὥστε τὰ μείζω ἄτομα τῶν ἐλαττόνων εἶναι βαρύτερα, ἔστι δὲ τὰ μείζω ἄτομα θερμότερα, πῶς ἐστι δυνατὸν μὴ πάσχειν ὑπ' ἀλλήλων εἰς τὸ ἠρέμα θερμὸν δρῶντος ἐξ ἀνάγκης τοῦ σφοδροῦ θερ-

μοῦ.

ΙΩΑΝΝΙΝΑ 2006

μου. Ἔτι δὲ ἄτοπόν ἐστι τὸ θάτερον μέρος τῆς συστοιχίας τῶν ἐναντίων λέγειν ὑπάρχειν, καὶ ἀποδίδοσθαι σχήματι τινὶ, θάτερον δὲ μή, εἰ τῶν ὑπάρχει τὸ σκληρὸν καὶ τὸ μαλακὸν ὑπάρξει, ἀλλὰ μὴν μαλακόν ἐστι τὸ ὑπεικτικὸν, ὑπείκειν δὲ λέγεται τὸ πάσχειν τι, οὐκ ἀπαθῆ ἄρα τὰ στερεὰ ταῦτα. ὁμοίως ἄτοπον τὸ μηδὲν ὑπάρχειν ἀλλὰ μόνον σχῆμα, πῶς γὰρ τὰ ἐκ τούτων συγκείμενα ποιὰ γένοιντο ἐκ μὴ ποιοῦ; εἰδὲ ὑπάρχει ἓν μὲν μόνον ὑπάρξει ἑνὶ, ἢ πλείω ἑνὶ, καὶ εἰ μὲν ἓν ἑνὶ, ὥστε τὸ μὲν σκληρὸν εἶναι, τὸ δὲ θερμὸν, οὐκ ἦν αὖ μία τις αὐτῶν ἡ φύσις, ὥστε μὴ μόνον σχήματι διαφέρειν ὡς ἐλέγετο, εἰ δὲ πλείω ἑνὶ ἢ ἐν διαφόροις μέρεσιν ἕξει τὰ διάφορα πάθη, καὶ οὐκ ἔσται ἀδιαίρετον, εἰδὲ ὡς ἀδιαίρετον ἐν τῷ αὐτῷ ἕξει τὰ πάθη, ἐξ ἀνάγκης ἔσται σύνθετον, ἐὰν γὰρ πάσχῃ εἴπερ ψύχεται ταύτῃ τοι καὶ ἄλλο τι ποιήσει, ἢ καὶ πείσεται κατὰ τὰς ἐν αὐτῷ διαφόρους δυνάμεις, ἐπειδὴ δὲ ἀδύνατον τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ποιητικὸν εἶναι, καὶ παθητικὸν, ἀνάγκη τῇ μὲν εἶναι ποιητικὸν, τῇ δὲ παθητικὸν, οὐ μὴν ἀλλ' ἀνάγκη τὸ πάσχον ἀεὶ διαιρετὸν εἶναι, πᾶν γὰρ τὸ κινούμενον ὡς δέδεικται διαιρετόν ἐστιν. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῶν ἄλλων ποιοτήτων, συμβαίνει δὲ τοῦτο τὸ ἄτοπον τοῖς τε στερεὰ, καὶ τοῖς ἐπίπεδα λέγουσι τὰ ἀδιαίρετα ὁπωσποτε τῶν ἀδιαίρετα ἔσται ἀδύνατον ἢ ἓν ἔχειν πάθος ἢ πολλά. Ἔτι δὲ τὰ ἀδιαίρετα ταῦτα οὔτε μανώτερα, οὔτε πυκνότερα οἷον τε γενέσθαι μὴ ὄντος ἐν τούτοις κενοῦ. Ἔτι δὲ ἄτοπον τῷ ἀδιαίρετα φάναι διὰ τὴν σμικρότητα τὰ στερεὰ, διὰ δὲ τὸ μέγεθος μή, καθ' ἡμᾶς γὰρ εὐλόγως τὰ μείζω μᾶλλον τῶν μικρῶν θραύεται. τὰ γὰρ μεγάλα διαλύεται ῥᾳδίως, προσκόπτει γὰρ πολλοῖς, διατί γὰρ μᾶλλον τῶν μεγάλων τοῖς μικροῖς ὑπάρχει τὸ ἀδιαίρετον, εἰ γὰρ τοῖς μεγάλοις τὸ διαιρετὸν εἶναι προσήκει διὰ τὸ ποσὸν, καὶ τοῖς μικροῖς ὑπάρξει ποσοῖς οὖσιν. Ἔτι δὲ πότερον μία πάντων ἡ φύσις ἐκείνων τῶν στερεῶν, ἢ διαφέρει θάτερα τῶν ἑτέρων οὐ μόνον ἀριθμῷ, ἀλλὰ καὶ φύσει, ὥσπερ αὖ εἰ τὰ μὲν εἴη πύρινα, τὰ δὲ γήϊνα τὸν ὄγκον, εἰ μὲν γὰρ μία ἡ πάντων φύσις; τίνος ἕνεκα οὐ λέγεται τί τὸ χωρίσαν αὐτά; ἢ διατὶ ὅταν θίγῃ θάτερον ἑτέρου οὐ γίγνεται ἀψάμενα ἓν κυρίως, ὥσπερ ὕδωρ ὕδατος προσελθόντος, οὐ γὰρ διαφέρει τὸ ὕστερον τοῦ προτέρου, ὥστε μὴ ἓν γενέσθαι, εἰδὲ ἕτερα τῇ φύσει, ποῖα ἐστὶ ταῦτα; ὥστε αὐτὰς τὰς ποιότητας καθ' ἃς ἀλλήλων διαστέλλονται ἀρχὰς καὶ αἰτίας μᾶλλον θετέον τῶν περὶ τὰς ἀτόμους συμβαινόντων, ἢ τὰ σχήματα. Ἔτι δὲ εἰ διαφέροντά εἰσι τῇ φύσει, ἐπειδὴ πῇ μὲν εἰσὶν ἀνόμοια ὡς φύσει διεστῶτα, πῇ δὲ ὅμοια ὡς ἔχοντα κοινὸν τὸ ἀδιαίρετον θιγγάνοντα ἀλλήλων, εἴτε ποιήσει, εἴτε πείσεται, ἔτι δὲ ἐπειδὴ συγκρίνονται καὶ διακρίνονται κινούμεναι αἱ ἄτομοι, ἔσται τι

Ε.Υ.ΔΙΠ.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ κινοῦν αὐτάς, καὶ εἰ μὲν ἕτερον τούτων ἔσαι, παθητικαί, ὡς ὑφ' ἑτέρου κινούμεναι, εἰδὲ μὴ ἕτερον ἀλλ' αὐτὸ ἑαυτὸ ἕκασον κινήσει, ἢ διαιρετὸν ἔσαι, ὥστε κατ' ἄλλο μὲν μέρος κινοῦν, κατ' ἄλλο δὲ κινούμενον εἶναι, ἢ κατὰ ταυτὸ τἀναντία ὑπάρξει, ὥστε τὴν ὕλην οὐ μόνον ἀριθμῷ μίαν εἶναι, ἀλλὰ καὶ δυνάμει. ἀλλ' οὐ πολλά. Ὁμοίως δὲ διελέγχονται ὅσοι διὰ τῆς τῶν πόρων κινήσεως φασὶ τὰ πάθη συμβαίνειν, εἰ γάρ φασιν εἰσιόντος τοῦ ποιοῦντος γίγνεσθαι τὸ πάσχειν, φανερὸν ὅτι πεπληρωμένων τῶν πόρων γίγνεται ἡ πάθησις, ὥστε περίεργον εἰσιν οἱ πόροι, εἰ γὰρ πάσχει τὸ σῶμα πεπληρωμένων τῶν πόρων, πείσεται καὶ μὴ πόρους ἔχον, ἀλλ' αὐτὸ συνεχὲς ὂν τὸν αὐτὸν τρόπον. Ἔτι δὲ πῶς ἐνδέχεται τὸ διορᾶν γίγνεσθαι ὡς λέγουσιν; οὔτε γὰρ ἐνδέχεται κατὰ τὰς ἁφὰς αὐτοῦ τὰς ὄψεις διϊέναι εἰς τὸ ὁρατὸν διὰ τῶν διαφανῶν μέσων, οὔτε διὰ τῶν πόρων, καὶ διὰ μὲν τῶν ἁφῶν χωρεῖν τὰς ὄψεις ἀδύνατον, ἄλλως γὰρ αὖ μάταιοι οἱ πόροι, ὡς οὐκ οὔσης τούτων χρείας, ἀλλ' οὔτε διὰ τῶν πόρων, πλήρεις γὰρ αὐτοὺς τίθησιν Ἐμπεδοκλῆς. ὥστε εἰ φησὶ διϊέναι τὰς ὄψεις ἐξωθούσας τὸ ἐν τοῖς πόροις σῶμα τοῦτο ποιήσει κἂν τῷ σώματι, ὥστε οὐ διοίσει τοῦ μὴ πόρους ἔχειν. πᾶν γὰρ ὁμοίως ἔσαι πλῆρες, τό, τε πόρους ἔχον, καὶ μή, ἀλλαμὴν εἴτις φαίη κενὰ μὲν εἶναι τοὺς πόρους, ἀλλαμὴ κεχωρισμένα, ἀνάγκη γὰρ σώματα ἐν ἑαυτοῖς ἔχειν, ταυτὰ συμβήσεται πάλιν, εἰ γὰρ διὰ αὐτῶν διΐασιν αἱ ὄψεις, ὁμοίως διελεύσονται καὶ διὰ τῶν σωμάτων, ὥστε μὴ χρείαν εἶναι πόρων. εἰδέ τις πάλιν ἐρεῖ τηλικούτους εἶναι τοὺς πόρους τὸ μέγεθος, ὥστε μὴ δέχεσθαι σῶμα μηδέν, ἀλλὰ μόνον τὰς ὄψεις, γελοῖον τὸ μικρὸν μὲν οἴεσθαι κενὸν εἶναι, μέγα δὲ μή, μήδ' ὁπηλικονοῦν κατὰ μέγεθος, εἰ γὰρ ἔσαι μικρὸν τίνος ἕνεκεν οὐκ ἐνδέχεται καὶ μεῖζον εἶναι; ἔτι δὲ γελοῖον τὸ κενὸν ἄλλο τι οἴεσθαι λέγειν πλὴν χώραν σώματος, εἰδὲ τοιοῦτον δῆλον ὅτι παντὶ σώματι ἐξισοῦται τὸ κενὸν κατὰ τὸν ὄγκον, ὥστε σώματος ἀεὶ τὸ κενὸν ἔσαι δεκτικόν, ἀλλαμὴ μόνον ὄψεως. Τελευταῖον πάντως ἔσαι περίεργον τὸ πόρους ποιεῖν, ἢ γὰρ τὸ ποιοῦν ποιεῖ κατὰ τὴν ἁφήν, ἢ οὔ. εἰ μὲν γὰρ οὐ κατὰ τὴν ἁφὴν ποιεῖ, οὐδὲ διὰ τῶν πόρων ποιήσει διϊόν. οὐ γὰρ ἐνεργεῖ διὰ τὴν εἰς πόρους κίνησιν, ἀλλ' ἔγγισα γίγνεται, εἰδὲ τῷ ἅπτεσθαι τὸ ποιεῖν, ἀλλαμὴ τὸ εἰς πόρους εἰσδύειν, φανερὸν ὅτι καὶ μὴ πόρων ὄντων τὰ μὲν πείσεται, τὰ δὲ ποιήσει τῶν πρὸς ἄλληλα τοῦτον τὸν τρόπον πεφυκότων. ὅτι μὲν οὖν οὕτως τοὺς πόρους λέγειν ὥς τινες ὑπολαμβάνουσιν ἢ ψεῦδος ἢ μάταιον φανερὸν ἐκ τούτων ἐστίν. ἀμέλει τοι εἰ καὶ πόρων ἔδει πρὸς τὸ ποιεῖν καὶ πάσχειν γελοῖον ἐστὶ τὸ ἀφωρισμένους ὑποτίθεσθαι διαιρετῶν ὄντων πάντῃ τῶν σωμάτων. ἢ γὰρ διαιρετὰ δύναται παρὰ τοῦ ποιοῦντος χωρίζεσθαι. καὶ

τὸ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ. ΑΛ.... Π.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ ποιοῦν αὐτὸ ἐν τῷ πάσχοντι διαιρετῷ ὄντι πόρους ἑαυτῷ ποιήσει τῷ χωρισμῷ.

# ΚΕΦΑΛΑΙ'ΟΝ, Ε'ΝΝΑΤΟΝ.

## Τίνα τρόπον ὑπάρχει τοῖς οὖσι γεννᾷν, καὶ ποιεῖν, καὶ πάσχειν.

Ἐληλεγμένων μὲν οὖν τῶν τοῖς πρότερον λεγομένων περὶ τοῦ ποιεῖν καὶ πάσχειν τὸν ἀληθῆ τοῦτον τρόπον ἐκθώμεθα. καὶ πῶς ὑπάρχει τοῖς οὖσι γεννᾷν καὶ ποιεῖν καὶ πάσχειν λέγομεν, ἀρχὴν τὴν πολλάκις εἰρημένην καὶ κοινοτάτην ἐν τοῖς Φυσικοῖς, ἥτις τὰς ἐν τοῖς Φυσικοῖς ἀπορίας ἔλυσε πάσας. λαβόντες, ὅτι τὸ μὲν ἐστι δυνάμει, τὸ δὲ ἐντελεχείᾳ τοιοῦτον πρὸς τὸ αὐτό, οἷον τὸ μὲν ὕδωρ δυνάμει θερμόν, τὸ δὲ πῦρ ἐνεργείᾳ. ἐπεὶ οὖν τὸ ποιοῦν τοῦ δυνάμει ὄντος μεταβλητικόν ἐστιν εἰς ἑαυτὸ διὰ θιγῆς, ἀνάγκη τὸ δυνάμει ὂν καθ' ὅλον εἶναι παθητικόν, ἀλλ' οὐ τῇ μὲν πεφυκέναι, τῇ δ' οὐ πάσχειν, ὅλον γάρ ἐστι δυνάμει. ταύτῃ ἄρα καθ' ὅσον ἐστὶ τοιοῦτον παθητικόν, ὥστε ψευδῆ λέγειν τοὺς φάσκοντας κατὰ μὲν τοὺς πόρους πάσχειν, κατὰ δὲ τὰ στερεὰ μηδαμῶς. ἀκόλουθον δὲ ὁμοίως τῇ εἰρημένῃ ἀρχῇ, ὅτι τὸ ἧττον καὶ μᾶλλον δυνάμει ᾗ τοιοῦτον μᾶλλον ἐστὶν καὶ ἧττον παθητικόν, ὥστε καὶ τοὺς πόρους αὐτοῖς λέγει εἰς τὸ μᾶλλον παθητικὸν συμβάλλειν. διὰ γὰρ τούτων ῥᾷον πάσχει τὸ δυνάμει ὄν, καὶ δυσπαθέστερα γίγνεται τὰ πόρους ἔχοντα σώματα, καθάπερ ἐν τοῖς μεταλλευομένοις αἱ διατείνουσαι τοῦ παθητικοῦ φλέβες συνεχεῖς οὖσαι, καὶ δι' ὅλου ἑτοιμότερον ποιοῦσι τὸ πάσχον τῇ τοῦ ποιοῦντος ἐνεργείᾳ. συμφυὲς μὲν οὖν τι καὶ συνεχὲς ἐστὶ τὸ ποιόν, ὥστε ἓν εἶναι καὶ ταυτὸν τῇ φύσει ἀπαθές ἐστιν ὑφ' αὐτοῦ, τὸ γὰρ ἓν ᾗ τοιοῦτον ἀδύνατον κατ' αὐτὸ τὸ ποιητικὸν ἅμα καὶ παθητικὸν εἶναι. ὥστε ἐναντίον εἶναι δεῖ τὸ ποιοῦν τῷ πάσχοντι, ἀλλ' ὅμως οὐ πέφυκε ταῦτα ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων, ὅταν μὴ θιγγάνῃ μήτε αὐτῶν ἀμέσως, μήτε ἄλλων. ἅπτεσθαι οὖν ἀνάγκη τὸ ποιητικὸν τοῦ παθητικοῦ, ἢ ἀμέσως ἢ διὰ μέσου τινός, ὥστε καὶ τοῦτο δεκτικὸν εἶναι τοῦ παρὰ τοῦ ποιοῦντος πάθους, καὶ διαδοτικὸν αὐτοῦ εἰς τὸ πάσχον. καθάπερ ἐν τοῖς βαλανείοις θερμαίνεται μὲν ὑπὸ τοῦ πυρὸς ἀήρ, θερμαίνει δὲ ὁ αὐτὸς ἡμᾶς. τὸ μὲν οὖν καθ' ὅλον πάσχειν τὸ δυνάμει τοιοῦτον ὑπὸ τοῦ ἐνεργείᾳ φανερόν. τὸ δὲ τῇ μὲν οἴεσθαι πά-

χειν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

χειν, τῇ δὲ μή, τῇ ὑποθέσει ἀκολουθεῖ τῶν ἐξ ἀδιαιρέτων συντιθέντων τὰ σώματα. εἰ γὰρ τὸ μέγεθος μὴ πάντῃ διαιρετὸν, ἀλλ᾽ ἔστι σῶμα κατὰ Δημόκριτον, ἢ πλάτος ἀδιαίρετον κατὰ Πλάτωνα. ἀδύνατόν ἐστι πάντῃ παθητικὸν εἶναι, τὰ γὰρ ἄτομα καὶ ἀδιαίρετα ἀπαθῆ τίθεται, ἀλλ᾽ οὐδὲ συνεχὲς δυνατόν ἐστι γενέσθαι ἐξ ἀδιαιρέτων, ὥστε πάντῃ πάσχειν ἢ συνεχές, τῷ γὰρ ἀδιαιρέτῳ προστεθέντων ἀδιαιρέτων οὐδὲν γίνεσθαι δύναται μεῖζον. ἐπειδὴ τοιγαροῦν ψευδὴς ἡ δόξα τούτων, ἀληθὴς δὲ ἡ λέγουσα τὸ σῶμα πάντῃ διαιρετὸν, οὐδὲν διαφέρει λέγειν, ὅτι διῄρηται μὲν, καὶ ἅπτεται κατὰ τοὺς πόρους, ἢ διαιρετὸν εἶναι καθάπερ λέλεκται. ὥσπερ γὰρ οἱ ἐξ ἀδιαιρέτων συντιθέντες τὸ συνεχές φασι, κἂν μήπω ᾖ διῃρημένον ἐνεργείᾳ δύνασθαί γε ὅμως ἐνεργείᾳ διῃρῆσθαι. δυνατὸν γάρ ἐστι διαιρεθῆναι, γίγνεται γὰρ οὐδὲν ἀδύνατον, ἀλλὰ δυνατόν ἐστιν ἐνεργείᾳ διῃρημένον εἶναι, ἄρα καὶ ἔσται. διαιρετὸν δὲ ὂν ἅπτεσθαι, οὔτοι καὶ ἡμεῖς ἅπτεσθαι λέγομεν τὸ διαιρετὸν ἐνεργείᾳ συνεχὲς ὂν, οὐ γὰρ ἀνάγκη σχιζομένων τῶν σωμάτων γίγνεσθαι τὸ ποιεῖν, ἀλλὰ δυναμένων διαιρεθῆναι. τὸ γὰρ λέγειν, ὅτι ἐνεργείᾳ ἔσχισται τὰ πάσχοντα σώματα ἀναιρεῖ τὴν ἀλλοίωσιν. πρῶτον γὰρ ὁρῶμεν, ὅτι μένοντος τοῦ αὐτοῦ σώματος συνεχοῦς ὄντος γίγνεται μεταβολὴ κατὰ ποιότητα, ὁτὲ μὲν ὑγροῦ γινομένου, ὁτὲ δὲ πεπηγότος, οὔτε διαίρεσιν ὑπομένοντος οὔτε σύνθεσιν παθόντος, οὔτε τροπὴν ἢ διαθιγὴν, καθάπερ λέγει Δημόκριτος, οὐδεμίαν γὰρ ἐν τοῖς ἀλλοιουμένοις ὁρῶμεν οὔτε μετάταξιν, οὔτε μετάθεσιν, ἀλλὰ τὸ αὐτὸ μὴ μεταβάλλον τὴν φύσιν πεπηγὸς ἐξ ὑγροῦ γέγονεν. μηδὲ φαίη τις αὖ ὅτι ὑπάρχοντα ἐν τῷ συνεχεῖ τὰ σκληρὰ, καὶ πεπηγότα ἀδιαίρετα κατὰ τοὺς ὄγκους ὁτὲ μὲν ὑποδύει, ὁτὲ δὲ ἐκκύπτουσιν, ὥστε σκληρὸν μὲν γίγνεσθαι τῶν μαλακῶν λεληθότων ἡμᾶς, τῶν δὲ πεπηγότων μεταπαττομένων, καὶ φανερῶν γιγνομένων, μαλακὸν δὲ ὁμοίως τῶν μὲν σκληρὸν ἐναπομεινάντων ἐκκρινομένων δὲ τῶν ὑγρῶν ἀτόμων. καὶ γὰρ ὁμοίως ὅλον ὁτὲ μὲν ὑγρὸν, ὁτὲ δὲ σκληρὸν, καὶ πεπηγὸς γίνεται κατὰ πᾶν μόριον ὑγρανθὲν, ἢ πεπηγὸς, οὐ γὰρ ἐν τῷ πεπηγότι ὕδατι ὑπομένει τινὰ ὑγρὰ μόρια, ἀλλὰ τὸ πᾶν πέπηγεν, ὁμοίως δὲ ὅταν τοῦ πάγους ἀπαλλαγῇ οὐδὲν ὑπομένει σκληρὸν, ἀλλ᾽ ὅλον ὑγρόν ἐστιν, εἶτα οὐδὲ αὔξησιν οἷόν τέ ἐστι σώζειν καὶ φθίσιν, τὸ γὰρ αὐξόμενον καθ᾽ ὁτιοῦν αὐτοῦ μέρος ἐπιδίδωσι κατὰ μέγεθος, εἰ δὲ προσθέσεως ἀτόμων γιγνομένης ἡ αὔξησις οὐχ ὁτιοῦν ἔσται γεγονὸς μεῖζον κατὰ πᾶν μόριον, ὥστε μιχθέντος τινὸς καὶ προσιόντος οὐ διὰ τῆς τῶν ἀτόμων προσθήκης, ἀλλὰ διὰ τῆς τούτων μεταβολῆς εἰς τὸ ὅμοιον ἡ αὔξησις, διὸ δὴ καὶ καθ᾽ ὁτιοῦν αὔξεται μόριον, ὁμοίως οὐδὲ τὰ καθ᾽ αὐτὸ μεταβάλλοντα, οἷον ὅταν τὸ ὕδωρ ἀὴρ γίγνηται κατὰ τοῦτον αὔξεται

τὸν

ΙΩΑΝΝΙΝΑ 2006

τὸν τρόπον ὡς λέγουσιν, ἀλλὰ μᾶλλον κατὰ πάντα μεταβάλλον, καὶ καθ' ὁτιοῦν μέρος ἀραιούμενον. ὅτι μὲν οὖν ἔστι τὸ γεννᾷν καὶ τὸ ποιεῖν, καὶ τὸ γίγνεσθαί τε καὶ πάσχειν ὑπ' ἀλλήλων, καὶ τίνα τρόπον ἐνδέχεται κατὰ τὴν ἀλήθειαν, καὶ τίνα μὲν οἴονταί τινες, ἀλλ' οὐκ ἐνδέχεται γίνεσθαι, διωρίσθω τοῦτον τὸν τρόπον.

# ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

## Θεωρία τῶν περὶ τοῦ ἅπτεσθαι, τοῦ ποιεῖν, καὶ τοῦ πάσχειν ἀμφιβαλλομένων.

Ὑπηρέτις ἀγαθὴ καὶ ἀκάματος οὖσα τοῦ θειοτάτου νοὸς ἡ φύσις τῆς τοῦ παντὸς τελειότητος ἀκαταπαύστως ἐπιμελεῖται, τὴν διὰ τῆς ὕλης τῶν πραγμάτων ῥύσιν ἀναστέλλουσα, καὶ τὴν τῶν φθειρομένων χώραν τῇ τῶν γιγνομένων πληροῦσα διαδοχῇ. ἐπειδὴ δὲ γένεσις ὑπάρχει, τῶν ποιητικῶν εἰς ἑαυτὰ μεταβαλλόντων τὰ παθητικὰ διὰ θιγῆς, ἀναγκαῖον ἐστὶν ἐν τοῖς μάλιστα τοῖς βουλομένοις ἐξακριβῶσαι τὴν φύσιν τῶν ὄντων τί τὸ ποιεῖν καὶ πάσχειν ἐξετάσαι, καὶ τί ἐστιν ἁφὴ δι' ἧς αὐτὰ γίγνεται. διὸ καὶ ἡμῖν πρόκειται νῦν ταῦτα βασανίσαι, καὶ τῶν ἐνσκηψουσῶν ἀπορειῶν ἀπαλλάξαι, τοῖς τοῦ Φιλοσόφου ἴχνεσιν ἑπομένοις ἀπαραπτώτως, ὅθεν ἀδιακόπως πρότερον ἐξεθέμεθα τὰ τέτταρα ἑξῆς τοῦ Σταγειρίτου κεφάλαια ἐν οἷς ὁ λόγος ἐν τῷ περὶ ἁφῆς, τοῦ ποιεῖν, καὶ πάσχειν, ἵνα τὴν ὁλόκληρον αὐτοῦ περὶ τούτων δόξαν λαβόντες, ὡς ἀπὸ σκοπιᾶς τῆς τούτου διδασκαλίας τὰ παρεμπίπτοντα τοῖς ὑπ' αὐτοῦ λεγομένοις διελθεῖν ἔχωμεν ταῖς ὄψεσι τοῦ νοός.

## Ποσαχῶς ἡ ἁφὴ λέγεται.

Πάλιν ἀπὸ τῆς σημασίας ἀρξώμεθα τοῦ ὀνόματος, διχῶς γὰρ ἡ ἁφὴ, ἢ κυρίως, ἢ καταχρηστικῶς, ἡ μὲν γὰρ καὶ ἐπὶ τῶν ἀσωμάτων ἐνίοις λέγεται, καθ' ὃ καὶ τῶν νόων ἅπτεσθαι φαίη τις ἂν τὰς οὐρανίους ψυχὰς, καί τοι μᾶλλον ἂν ἁφὴν ἐρεῖ τις, καθ' ἣν ἅπτονται τῶν ὑβριζομένων αἱ λοιδορίαι, ἢ οἱ κοιμώμενοι τῶν ὀνειράτων, ἰδιαίτερον δ' αὖθις ἅπτεσθαι λέγεται ὅσα ἀλλήλοις ἐγγύς πως ἐστὶν, ἀλλὰ περὶ τῆς τοιαύτης ἁφῆς οὐδὲν ἡμῖν μέλλει. ἡ δὲ κυρίως ἁφὴ τριχῶς λέγεται, ἢ Μαθηματικὴ καθ' ἣν ἀλλήλων ἅπτεται τὰ μεγέθη ἢ ποσὰ

μό-

μόνον, καθ' ἣν ἔννοιαν ὁ κύκλος ἅπτεσθαι λέγεται ἐν στιγμῇ τοῦ ἐπιπέδου. ἡ Φυσικὴ καὶ αὕτη ἡ τῶν μὴ ποιητικῶν εἰς ἄλληλά ἐστιν, ἢ τῶν ὑπ' ἀλλήλων πάσχειν τε καὶ δρᾶν εἰς ἄλληλα δυναμένων, καὶ τὰ μὲν εἰς ἄλληλα μὴ ποιητικὰ ἅπτεται αὐτῶν, θατέρου τῶν ἁπτομένων ποιοῦντος, πάσχοντος δὲ τοῦ ἑτέρου διὰ παντὸς, καθ' ὃν τρόπον τὰ οὐράνια σώματα τῶν ὑπὸ Σελήνην ἅπτεται, ἐκεῖνα μὲν γὰρ ποιητικὰ μόνον ἐστὶν, ταῦτα δὲ ἀεὶ πάσχοντα, ἢ μηδετέρου τῶν ἁπτομένων ποιητικοῦ ἢ πάσχοντος ὄντος κατ' οὐσιώδη μεταβολὴν, καὶ ταύτῃ ἅπτεσθαι λέγεται ἀλλήλων τὰ οὐράνια σώματα, οὐδὲν γὰρ αὐτὸ ὑφ' ἑτέρου πάσχει μεταβολὴν, ἀλλ' ἢ μόνον κατὰ κίνησιν καὶ φωτισμὸν. ἡ γὰρ ἀνωτάτω σφαῖρα περιάγει τὰς ὑφ' αὐτὴν, καὶ ὁ ἥλιος τοῖς λοιποῖς οὐρανίοις σώμασι τοῦ φωτὸς μεταδίδωσι. Κυριώτατα τοίνυν ἀφή ἐστιν ἐν τοῖς ποιητικοῖς καὶ παθητικοῖς ὑπ' ἀλλήλων οἷα τὰ ὑπὸ Σελήνην νομίζεται. ἐν τούτοις δὲ ἡ μετὰ κρίσεως ἡ ἀφὴ γίγνεται ὥσπερ ἐπὶ τῶν ζώων ἧς ἡ σκέψις εἰς τὴν περὶ ψυχῆς ἀναβάλλεται πραγματείαν, ἢ δίχα γνώσεως περὶ ἧς ὡς ἅτε δὴ ἐν πᾶσιν οὔσης τοῖς γιγνομένοις, καὶ φθειρομένοις ἡμῖν ὁ λόγος πρόκειται. εἰς τὴν τοιαύτην οὖν ἀφὴν πάντ' ἄττα κατὰ τὴν τοῦ Φιλοσόφου δόξαν ἐγκρίνεται. Πρῶτον τὰ ἁπτόμενα μεγέθη διῃρημένα εἶναι, οὐ γὰρ ἂν ἅπτεσθαι ἐλέγετο, ἀλλὰ συνεχῆ. Δεύτερον θέσιν ἔχειν τὰ τοιαῦτα, τῶν γὰρ ἁπτομένων ἅμα εἶναι ὀφείλει τὰ ἔσχατα, ἅμα δὲ εἶναι λέγεται τὰ ἐν τόπῳ, ὅθεν ἀφὴ προσήκει, οἷς ἐστι θέσις καὶ τόπος. Τρίτον ὀφείλει ἅμα τὰ ἔσχατα εἶναι τῶν ἁπτομένων. Τέταρτον δεῖ τῶν ἁπτομένων τὸ μὲν ὡς κινοῦν εἶναι, τὸ δὲ ὡς κινούμενον. Πέμπτον τῶν ἁπτομένων ἕκαστον ποιητικὸν εἶναι καὶ παθητικὸν, καὶ δυνάμενα μεταβάλλειν εἰς ἄλληλα. τὰ μὲν οὖν τρία τῶν λεγομένων τὴν κατὰ Μαθηματικοὺς ἀφὴν συνίστησι, τὰ γὰρ ποσὰ ἅπτεσθαι λέγεται διωρισμένα τε ὄντα, καὶ θέσιν ἔχοντα, καὶ ἅμα τὰ ἔσχατα, τὰ δὲ τέτταρα τὴν ἧττον λεγομένην κυρίως ἐν τοῖς Φυσικοῖς ἀφὴν, ταῦτα γὰρ διακεκριμένα τέ ἐστι καὶ τόπον ἐπέχει, καὶ ἅμα εἰσὶ κατὰ τὰς ἐπιφανείας καὶ ἅπτεσθαι ὡς κινοῦντα κινουμένων, τὰ δὲ πέντε ὁμοῦ τὴν κυριωτάτην ἀφὴν ἀποτελεῖ, ἅ τινα πρὸς τοῖς ἄλλοις ποιεῖν τε καὶ πάσχειν ὑπ' ἀλλήλων οἷά τέ ἐστιν. ἐντεῦθεν οὖν καὶ τῆς τριττῆς ταύτης ἀφῆς τοὺς ὁριστικοὺς λόγους ὀρθῶς ἂν ἀπὸ τῆς ἀφῆς ὁρισμός τις, ὧν γὰρ διῃρημένων μεγεθῶν ἅμα ἐστὶ τὰ ἔσχατα ἡ κατὰ Μαθηματικοὺς ἀφή ἐστιν, ὧν δὲ διωρισμένων σωμάτων ὄντων κινητῶν, καὶ κινητικῶν ἅμα ἐστὶ τὰ ἔσχατα, ἡ κυρίως ἀφή ἐστι. κυριώτατα δὲ ἀφὴ, ὧν διῃρημένων μεγεθῶν ὄντων ποιητικῶν καὶ παθητικῶν ὑπ' ἀλλήλων ἅμα τὰ ἔσχατα.



ΙΩΑΝΝΙΝΑ 2006